UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Apolinariu Metaphrasis tu Psaltēros, dia stichōn hēroikōn

**Apollinaris <Laodicensis>**

**[Heidelberg], 1596**

**VD16 B 3128**

Εκ Των Σωκρ. Σχολαστ. Ex Socrate Scholastico.

urn:nbn:de:hbz:466:1-69690

Visual Library

## ΕΚ ΤΩΝ ΣΩΚΡ. ΣΧΟΛΑΣΤ.

Ὁ τοῦ βασιλέως νόμος, ὃς τοὺς χριστιανοὺς ἑλληνικῆς παιδείας μετέχειν ἐκώλυε, τοὺς Ἀπολιναρίους, ὧν καὶ πρότερον ἐμνημονεύσαμεν, φανερωτέρους ἀπέδειξεν. ὡς γὰρ ἄμφω ἤστην ἐπιστήμονες λόγων, ὁ μὲν πατὴρ γραμματικῶν, ὁ δὲ υἱὸς ῥητορικῶν, χρειώδεις ἑαυτοὺς πρὸς τὸν παρόντα καιρὸν τοῖς χριστιανοῖς ἀπεδείκνυον. ὁ μὲν γὰρ εὐθὺς γραμματικὸς, τὴν τε τέχνην γραμματικὴν χριστιανικῷ τύπῳ συνέταττε, τά τε Μωϋσέως βιβλία, διὰ τοῦ ἡρωϊκοῦ λεγομένου μέτρου μετέβαλλε, καὶ ὅσα κατὰ τὴν παλαιὰν διαθήκην ἐν ἱστορίας τύπῳ συγγέγραπται, τοῦτο μὲν τῷ ἡρωϊκῷ μέτρῳ συνέταττε, τοῦτο δὲ καὶ τῆς τραγῳδίας τύπῳ δραματικῶς ἐξειργάζετο, καὶ παντὶ μέτρῳ ῥυθμικῷ ἐχρῆτο, ὅπως ἂν μηδεὶς τρόπος τῆς ἑλληνικῆς γλώττης τοῖς χριστιανοῖς ἀνήκοος ᾖ. ὁ δὲ νεώτερος Ἀπολινάριος εὖ πρὸς τὸ λέγειν παρεσκευασμένος, τὰ εὐαγγέλια, καὶ τὰ ἀποστολικὰ δόγματα ἐν τύπῳ διαλόγων ἐξέθετο, καθὰ καὶ Πλάτων παρ' ἕλλησιν.

## EX SOCRATE SCHOLASTICO.

Lex ab Imperatore promulgata, quæ vetabat Christianos humaniore literatura imbui, duos illos Apollinarios, quorum supra a nobis facta est mentio, multo celebriores reddidit. Vterque enim artium illarum, quæ ad sermonem formandum pertinent, admodum peritus, pater quidem grammaticæ, filius autem, illius quæ est Sophistarum propria, ea tempestate Christianis non parum attulere adiumenti. Nam pater, vtpote exquisitus grammaticus, artem grammaticam ad Christianę religionis formam contexuit, Mosisque libros carmine heroico expressit; quinetiam alios Veteris Testamenti libros, qui historico more & modo conscripti sunt, partim heroicis numeris, partim tragœdiæ forma, personis adhibitis, composuit, omniq; numerorum genere vsus est, vt nulla gentilis eloquentiæ forma Christianis insueta & noua videretur. Filius autem, qui dicendi facultate erat exquisite eruditus, Euangelia & Apostolorum scripta in formam dialogorum, Platonis more apud gentiles, redegit.